πάντων τῶν τόπων ἐφ᾽ ἡμᾶς, [7]καὶ ἔστησα εἰς τὰ κατώτατα τοῦ 7
τόπου κατόπισθεν τοῦ τείχους ἐν τοῖς σκεπεινοῖς καὶ ἔστησα τὸν
λαὸν κατὰ δήμους μετὰ ῥομφαιῶν αὐτῶν, λόγχας αὐτῶν καὶ τόξα
αὐτῶν. [8]καὶ εἶδον καὶ ἀνέστην καὶ εἶπα πρὸς τοὺς ἐντίμους καὶ 8
πρὸς τοὺς στρατηγοὺς καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ Μὴ
φοβηθῆτε ἀπὸ προσώπου αὐτῶν· μνήσθητε τοῦ θεοῦ ἡμῶν τοῦ
μεγάλου καὶ φοβεροῦ καὶ παρατάξασθε περὶ τῶν ἀδελφῶν ὑμῶν,
υἱῶν ὑμῶν καὶ θυγατέρων ὑμῶν, γυναικῶν ὑμῶν καὶ οἴκων ὑμῶν.
[9]καὶ ἐγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν ὅτι ἐγνώσθη ἡμῖν καὶ 9
διεσκέδασεν ὁ θεὸς τὴν βουλὴν αὐτῶν, καὶ ἐπεστρέψαμεν πάντες
ἡμεῖς εἰς τὸ τεῖχος, ἀνὴρ εἰς τὸ ἔργον αὐτοῦ. [10]καὶ ἐγένετο ἀπὸ 10
τῆς ἡμέρας ἐκείνης ἥμισυ τῶν ἐκτετιναγμένων ἐποίουν τὸ ἔργον,
καὶ ἥμισυ αὐτῶν ἀντείχοντο, καὶ λόγχαι καὶ θυρεοὶ καὶ τὰ τόξα
καὶ οἱ θώρακες καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου Ιουδα [11]τῶν 11
οἰκοδομούντων ἐν τῷ τείχει. καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν ἐν
ὅπλοις· ἐν μιᾷ χειρὶ ἐποίει αὐτὸ τὸ ἔργον, καὶ μία ἐκράτει τὴν
βολίδα. [12]καὶ οἱ οἰκοδόμοι ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμένος ἐπὶ 12
τὴν ὀσφὺν αὐτοῦ καὶ ᾠκοδομοῦσαν, καὶ ὁ σαλπίζων ἐν τῇ κερα-
τίνῃ ἐχόμενα αὐτοῦ. [13]καὶ εἶπα πρὸς τοὺς ἐντίμους καὶ πρὸς τοὺς 13
ἄρχοντας καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ Τὸ ἔργον πλατὺ
καὶ πολύ, καὶ ἡμεῖς σκορπιζόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀνὴρ
ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ· [14]ἐν τόπῳ, οὗ ἐὰν ἀκούσητε τὴν φωνὴν 14
τῆς κερατίνης, ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς, καὶ ὁ θεὸς ἡμῶν
πολεμήσει περὶ ἡμῶν. [15]καὶ ἡμεῖς ποιοῦντες τὸ ἔργον, καὶ ἥμισυ 15
αὐτῶν κρατοῦντες τὰς λόγχας ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως
ἐξόδου τῶν ἄστρων. [16]καὶ ἐν τῷ καιρῷ ἐκείνῳ εἶπα τῷ λαῷ Αὐ- 16
λίσθητε ἐν μέσῳ Ιερουσαλημ, καὶ ἔστω ὑμῖν ἡ νὺξ προφυλακὴ καὶ
ἡ ἡμέρα ἔργον. [17]καὶ ἤμην ἐγὼ καὶ οἱ ἄνδρες τῆς προφυλακῆς 17
ὀπίσω μου, καὶ οὐκ ἦν ἐξ ἡμῶν ἐκδιδυσκόμενος ἀνὴρ τὰ ἱμάτια
αὐτοῦ.

[1]Καὶ ἦν κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς 15
τοὺς ἀδελφοὺς αὐτῶν τοὺς Ιουδαίους. [2]καὶ ἦσάν τινες λέγοντες 2
Ἐν υἱοῖς ἡμῶν καὶ ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί· καὶ λημ-

6 παντων > S† | τοπων] + επιστρεψετε Sc†: sim. *L*† || 7 τοις] + διακοσιοις εικοσι S†: ex uerbo seq. iteratum (διακ. εικ. = σκ′) | σκεπεινοις] + οπου ευεπιβατα ην S†: cf. εν τοις αναπεπταμενοις in altera uersione a *L*† addita | τοξα] pr. τα Sc†, των τοξων *L*† || 8 και προς τους στρατηγους > BSV†: cf. 12 16 | και paenult. > BS | οικιων S || 9 ηκουσαν] εγνωσαν A† || 10 εκτετιναγμενων B† (cf. 15 15. 13)] εκτεταγμ. rel. (*L*† παρατεταγμ.) || 11 αυτο BS†] -του rel. | μια ult. BS† (= 𝔐)] pr. εν rel. || 12 οι > B† | την οσφυν] την > B†, οσφυος S†, της οσφυος *L*† || 13 αρχοντας] pr. ενδοξους SV† || 15 ημ(ε)ις BS*L*†] ημισυ rel. | ποιουντες et κρατουντες] pr. οι S† || 17 οπισω] pr. οι Sc† | εξ ημων > S†